Cours de littérature grecque
Semestre d’automne 2024
**Histoire générale de la littérature grecque**
Lectures en marge du cours de littérature n° 11

**Apollonios de Rhodes, *Argonautiques* 3.1026-1051**
Conseils de Médée à Jason.

“Φράζεο νῦν, ὥς κέν τοι ἐγὼ μητίσομ’ ἀρωγήν.
εὖτ’ ἂν δὴ μετιόντι πατὴρ ἐμὸς ἐγγυαλίξῃ
ἐξ ὄφιος γενύων ὀλοοὺς σπείρασθαι ὀδόντας,
δὴ τότε, μέσσην νύκτα διαμμοιρηδὰ φυλάξας,
ἀκαμάτοιο ῥοῇσι λοεσσάμενος ποταμοῖο,
οἶος ἄνευθ’ ἄλλων ἐνὶ φάρεσι κυανέοισιν
βόθρον ὀρύξασθαι περιηγέα, τῷ δ’ ἔνι θῆλυν
ἀρνειὸν σφάζειν καὶ ἀδαίετον ὠμοθετῆσαι,
αὐτῷ πυρκαϊὴν εὖ νηήσας ἐπὶ βόθρῳ·
μουνογενῆ δ’ Ἑκάτην Περσηίδα μειλίσσοιο,
λείβων ἐκ δέπαος σιμβλήια ἔργα μελισσέων.
ἔνθα δ’ ἐπεί κε θεὰν μεμνημένος ἱλάσσηαι,
ἂψ ἀπὸ πυρκαϊῆς ἀναχάζεο, μηδέ σε δοῦπος
ἠὲ ποδῶν ὄρσῃσι μεταστρεφθῆναι ὀπίσσω
ἠὲ κυνῶν ὑλακή, μή πως τὰ ἕκαστα κολούσας
οὐδ’ αὐτὸς κατὰ κόσμον ἑοῖς ἑτάροισι πελάσσῃς.
ἦρι δέ, μυδήνας τόδε φάρμακον, ἠύτ’ ἀλοιφῇ
γυμνωθεὶς φαίδρυνε τεὸν δέμας· ἐν δέ τοι ἀλκή
ἔσσετ’ ἀπειρεσίη μέγα τε σθένος, οὐδέ κε φαίης
ἀνδράσιν ἀλλὰ θεοῖσιν ἰσαζέμεν ἀθανάτοισιν·
πρὸς δὲ καὶ αὐτῷ δουρὶ σάκος πεπαλαγμένον ἔστω
καὶ ξίφος. ἔνθ’ οὐκ ἄν σε διατμήξειαν ἀκωκαί
γηγενέων ἀνδρῶν οὐδ’ ἄσχετος ἀίσσουσα
φλὸξ ὀλοῶν ταύρων. τοῖός γε μὲν οὐκ ἐπὶ δηρόν
ἔσσεαι, ἀλλ’ αὐτῆμαρ ὁμῶς σύγε μή ποτ’ ἀέθλου
χάζεο.